www.tezaurliturgic.ro

Ἱλαρίωνος Μοναχοῦ

# Κανὼν εἰς τοὺς ἁγίους καὶ ἐνδόξους Μεγαλομάρτυρας Τεσσαράκοντα, τοὺς ἐν Σεβαστείᾳ

Ἦχος πλ. δ'

Ἅγιον Ὄρος

2018

ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

## Ἕτερος εἰς τοὺς ἁγίους καὶ ἐνδόξους Μεγαλομάρτυρας Τεσσαράκοντα, τοὺς ἐν Σεβαστείᾳ. Ἦχος πλ.δ'

*Ὠιδὴ Α' Ἁρματηλάτην Φαραώ.*

Ἁπάσης Λόγε τοῦ Πατρὸς ἀπαύγασμα, δημιουργίας ὡς ὤν, πρύτανης τὴν χάριν, φιλευσπλάγχνως δώρησαι, τὴν σὴν ὅπως τὴν ἄθλησιν, τῶν μεγάλων μαρτύρων, καὶ τοὺς ἀγῶνας δυνήσομαι, μέλψαι τῶν σοφῶν Τεσσαράκοντα.

Βασιλευόντων Βασιλέως ἔνδοξοι, τῇ στρατιᾷ νουνεχῶς, ἐπιστρατευθέντες, τυραννούντων ἄνοιαν, ἀνδρειοφρόνως πάνσοφοι, ἠλογήσατε ὅθεν, ἀθλητικῶν ἐκομίσασθε, πρὸς Χριστοῦ γερῶν γενναιότατα.

Γνώμης ἐνθέου πεπλησμένοι ἅγιοι, τῶν ἀοράτων ἐχθρῶν, καὶ τῶν ὁρωμένων, ἄρδην κατεβάλετε, μηχανουργίας μάρτυρες, καὶ Χριστῷ ἑκουσίως, ὡς ἱερεῖα προσήχθητε, τῷ Παμβασιλεῖ Τεσσαράκοντα.

*Θεοτοκίον.*

Ἱλαρωτάτη διαθέσει Ἄχραντε, ἐφιεμένῳ νυνί, τουτωνὶ τὸν ὕμνον, τῇ δεκάδι ᾆσαί με, τῇ τετραπλῇ ἐνίσχυσον, τῶν Μαρτύρων

Παρθένε. Ἐξ ἀκενώτων σταγόνα μοι, τῶν χαρίτων σου ἐπιστάξασα.

*Ὠιδὴ Γ' Ὁ στερεώσας κατ' ἀρχάς.*

Δολερωτάτων δυσμενῶν, τερθρείας διαφυγόντες, ἀνενδότως τὸν Χριστὸν ὡς ἁπάντων, Βασιλέα καὶ Θεόν, τρανῶς καθωμολόγησαν, τῆς τεσσαρακοντάδος, οἱ οὐρανόστεπτοι μάρτυρες.

Ἐν ἐγκωμίοις ἀθλητῶν, τῶν Τεσσαράκοντα πίστει, τε καὶ πόθῳ πανεόρτιος μνήμη, ἀνυμνείσθω ἱεροῖς, Μονῆς τε τούτων ἅπασα, ἐνθέως εὐφραινέσθω, ἡ σεβασμία ὁμήγυρις.

Ζωῆς τῆς ἄνω καὶ τρυφῆς, πεπλουτηκυῖα ὦ θεία, καὶ καλλίνικος μαρτύρων χορεία, Τεσσαράκοντα Χριστόν, ἀπαύστως καθικέτευε, τῶν πειρασμῶν ῥυσθῆναι, καὶ τῶν παθῶν τοὺς ὑμνοῦντάς σε.

*Θεοτοκίον.*

Λύσιν ὁ κόσμος διὰ σοῦ, τετυχηκὼς Παναγία, τῆς ἀρᾶς τοῦ πρωτοπλάστου Παρθένε, καὶ τὴν λύσιν τουτωνί, τῶν πειρασμῶν πρυτάνευσον, τῇ ὀρθοδόξῳ ποίμνῃ, ἵν' ἐν εἰρήνῃ δοξάζῃ σε.

*Ὠιδὴ Δ' Σύ μου ἰσχύς.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Ἡλιανόν, ᾄσμασι καὶ τὸν Ἡσύχιον, τὸν Ἀγγίαν, καὶ σοφὸν Κυρίωνα, συνάμα τοῦτον Εὐνοϊκόν, μέλψωμεν ἐν πίστει, τυχεῖν ἐλέους αἰτούμενοι, ταῖς τούτων ἱκεσίαις, παρὰ τοῦ φιλανθρώπου, καὶ Δεσπότου Χριστοῦ τοῦ Θεοῦ ἡμῶν.

Θεοφιλῶς, σὺν Θεοφίλῳ ὑμνείσθω μοι, ὁ ἐξάρχων, Δόμνος ὁ πανάριστος, καὶ Φιλοκτήμων ὁ εὐκλεής, καὶ τῷ Θεοδούλῳ, Χριστοῦ ὁπλῖται πανένδοξοι, οἱ καταβεβληκότες, τῶν τυράννων τὰ θράση, τοῖς ἐνθέοις αὐτῶν ἀγωνίσμασι.

Ἰσοκλεεῖς, τῆς πανενδόξου ὑμνείσθωσαν, τῶν μαρτύρων, στεφηφόρου φάλαγγος, ὁ Ἰωάννης καὶ σὺν αὐτῷ, ὁ κλεινὸς Ἠλίας, καὶ ὁ θεόφρων Γοργόνιος, ὧν Κύριε τῆς δόξης, ταῖς πρεσβείαις παράσχου, τὰ ἐλέη πλουσίως τοῖς δούλοις σου.

*Θεοτοκίον.*

Ἄθω πληθύς, τῶν μοναζόντων Πανάχραντε, προστασίαν, κεκτημένη ἄμαχον, ἀκαταπαύστως τῶν ἐπὶ σοί, μεγαλείων μέλπει, ἃ ὁ Θεὸς σοὶ ἐποίησεν, προφητικῶς βοῶσα, τῷ τῶν ὅλων Δεσπότῃ, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

*Ὠιδὴ Ε΄ Ἵνα τί με ἀπώσω.*



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ

Καὶ τὸν Κύριλλον ὄντως, τῶν τῆς Τεσσαράκοντα χορείας ᾄσμασι, καὶ τὸν Σακερδῶτα, καὶ τὸν τούτοις ὁμότροπον Γάϊον, καὶ τῷ Νικολάῳ, ἀξιοχρέως τοῦ Δεσπότου, στεφανίτας Χριστοῦ εὐφημήσωμεν.

Λυσιμάχῳ τῷ θείῳ, σὺν τῷ Ἀλεξάνδρῳ τὸν κλεινὸν Ἀέτιον, καὶ τῷ Ἀκακίῳ, ἱκετήριον δέησιν μέλψωμεν, πίστει ἐξαιτοῦντες, τῶν πειρασμῶν ἡμᾶς ῥυσθῆναι, καὶ ἐλέους τυχεῖν τοῦ Θεοῦ ἡμῶν.

Μελωδίαις ἐνθέοις, Δομετιανὸς καὶ ὁ Οὐαλέριος, σὺν Ἀθανασίῳ, καὶ Χουδίων λαμπρῶς εὐφημείσθωσαν, ὡς τῶν ἐκτελούντων, αὐτῶν τὴν μνήμην ποδηγέται, μετανοίας ὁδῷ ἑτοιμότατοι.

*Θεοτοκίον.*

Ῥύπον ὅλως μὴ σχοῦσα, ἐν γαστρὶ συνέλαβες τὸν Λόγον Ἄχραντε, καὶ τῆς παρθενίας, μὴ λυθείσης Ἁγνὴ τοῦτον τέτοκας, καὶ Παρθένος ὤφθης, καὶ μετὰ τόκον καὶ Παρθένος, Μητροπάρθενε Κόρη διέμεινας.

*Ὠιδὴ ΣΤ' Ἱλάσθητί μοι Σωτήρ.*

Νεώσαντες τὴν ψυχήν, τοῖς ἀνηκέστοις μακάριοι, βασάνοις πρὸς οὐρανόν, κούφως

ἀνεδράμετε, Χριστὸν ἱκετεύοντες, τὴν ὑμᾶς τιμῶσαν, ποίμνην σώζεσθαι μὴ παύσησθε.

Ξοάνων εἰδωλικῶν, ἡ τῶν μαρτύρων παράταξις, σεβάσματα ἐναγῆ, ἀνδρείως κατέβαλε, ἡ τῶν Τεσσαράκοντα, τῇ τοῦ σταυρωθέντος, σθενουμένη θείᾳ χάριτι.

Ὁμότιμον τῷ Πατρί, δοξάζω καὶ ὁμοούσιον, τὸν Λόγον καὶ σὺν αὐτοῖς, τὸ Πνεῦμα τὸ Ἅγιον, Μονάδα Θεότητι, ἅμα καὶ τῇ φύσει, ἐν τρισὶ ταῖς ὑποστάσεσι.

*Θεοτοκίον.*

Ἰάσεών σε πηγήν, γινώσκομεν Παναμώμητε, οἱ τῷδε Ὄρει τῷ σῷ, ἀεὶ προσεδρεύοντες, ψυχῶν ἡμῶν ἴασαι, καὶ τὰς τῶν σωμάτων, ἀλγηδόνας τῷ ἐλέει σου.

*Ὠιδὴ Ζ΄ Θεοῦ συγκατάβασιν.*

Ποικίλαις κολάσεσι, Πρίσκος ὁ ἔνδοξος στρατιώτης Χριστοῦ, σὺν Οὐάλη τῷ πάνυ, καὶ Ἐκδικίῳ καὶ Ἡρακλείῳ, προσομιλοῦντες ὑπέψαλλον, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ῥεόντων τὸ ἄστατον, καταφρονήσαντες νουνεχῶς οἱ σοφοί, ὁ Μελίτων καὶ Φλάβιος, σὺν Σμαράγδῳ ἐν ταῖς βασάνοις χορεύοντες

ἔψαλλον, εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Σισίνιον ᾄσμασι, σὺν Γοργονίῳ τῷ στεφανίτῃ Χριστοῦ, καὶ Κλαυδίῳ τῷ θείῳ, καὶ Εὐτυχίῳ μελῳδικοῖς ἐκφωνοῦντες προσείπωμεν, τῶν δυσμενῶν τὰς ὁρμάς, εἰς κενὸν τρέψατε.

*Θεοτοκίον.*

Ὡράθης Πανύμνητε, καθυπερτέρα τῶν οὐρανίων νόων, ὡς τὸν πάντων Δεσπότην, ἀνερμηνεύτως σχοῦσα ἐν μήτρᾳ, ἐν χρόνῳ ἐκύησας, ἀρᾶς τῆς πάλαι Ἁγνὴ εἰς ἀπολύτρωσιν.

*Ὠιδὴ Η' Ἑπταπλασίως κάμινον.*

Τῆς εὐκλεοῦς ὑπάρχοντας, ἐναρίθμους καὶ σύμφρονας, τεσσαρακοντάδος, χαρμοσύνοις ᾄσμασι, πιστῶς καταστέψωμεν, σὺν Εὐτυχεῖ σύναθλον κλεινὸ τὸν Βιβιανόν, τῷ Λυτρωτῇ ἐκβοῶντες, πρεσβείαις πανοικτίρμον, σῶν μαρτύρων παράσχου, τῇ σὲ τιμώσῃ ποίμνῃ, πλουσίως τὰ ἐλέη.

Ὑπομονῆς οἱ μάρτυρες, τοὺς στεφάνους ἐδέξαντο, οὐρανόθεν μέσῳ ὕδασιν ἱστάμενοι, Ξανθίας ὁ ἔνδοξος, καὶ ὁ κλεινὸς Ἀγλάϊος, Σεβηριανός, σὺν τοῖς συνάθλοις βοῶντες, Χριστὸν πᾶσα ἡ κτίσις, τὸν Δεσπότην

ὑμνείτω, καὶ ὑπερυψούτω, εἰς πάντας τοὺς αἰῶνας.

Φιλομαρτύρων ἅπασαι, αἱ χορεῖαι συνέλθωμεν, ἐν τῷ πανιέρῳ, τῶν μαρτύρων ψάλλοντες, ναῷ Τεσσαράκοντα, Πατέρα ἀγέννητε καὶ Υἱέ, τὸν ἐκπορευτόν, ἅμα Πανάγιον Πνεῦμα, Θεὲ παντελεῆμον, ἀθλητῶν σου πρεσβείας, τὴν Μονὴν ταύτην σκέπε τῷ κράτει σου.

*Θεοτοκίον.*

Νοῆσαι τὸ μυστήριον, τῶν βροτῶν φύσις ἅπασα, οὐδὲ τῶν Ἀγγέλων, σθένει Παναμώμητε, Θεὸν γὰρ ἐγέννησας, εἰς κόσμου ἀπολύτρωσιν, τὸν Δημιουργόν, καὶ Λυτρωτὴν τῶν ἁπάντων, ὃν παῖδες εὐλογοῦσιν, ἱερεῖς ἀνυμνοῦσι, λαοὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

*Ὠιδὴ Θ᾽ Ἐξέστη ἐπὶ τούτῳ.*

Χαρᾷ καὶ εὐφροσύνῃ πνευματικῇ, χαρμοσύνως τὴν μνήμην τελέσωμεν, τῶν εὐσεβῶν, ἡ πληθὺς μαρτύρων τῶν τοῦ Χριστοῦ, μεγάλων Τεσσαράκοντα, τῶν ἐν Σεβαστείᾳ καὶ τὴν αὐτῶν, σορὸν νῦν προσκυνοῦντες, ἀντίληψιν καὶ χάριν, ἐν τοῖς δεινοῖς ἐξαιτησώμεθα.

Ψαλλέτω οἷα νύμφη ἡ τοῦ Χριστοῦ, Ἐκκλησία ἑόρτιον ἄγουσα, τὴν φωταυγῆ μνήμην Τεσσαράκοντα ἀθλητῶν, στερρῶς γὰρ οἱ καλλίνικοι, ἀληθῶς δι᾽ ὕδατος καὶ πυρός, διῆλθον καὶ τῆς ἄνω, ἀναψυχῆς τυχόντες, ὑπὲρ ἡμῶν ἀεὶ πρεσβεύουσι.

Ὠιδὴν Ἑξαπτερύγων τῶν Σεραφίμ, ἐν ναῷ τουτωνὶ μελωδήσωμεν, τῷ ἱερῷ θείων Τεσσαράκοντα ἀθλητῶν, τὸ ἅγιος καὶ ἅγιος, ἅγιος ὁ Κύριος Σαβαώθ, Πάτερ Υἱὲ καὶ Πνεῦμα, Θεὲ Πατέρων πίστει, τῇ ὀρθοδόξῳ ἡμᾶς στήριξον.

*Θεοτοκίον.*

Μητέρα σε τοῦ πάντων Δημιουργοῦ, ἐγνωκότες Παρθένε Παντάνασσα, καὶ τῆς τοῦ σοῦ, κληρουχίας Ἔφορον ἀγαθή, Ὄρους τῆς ἁγιότητος, ἡμῖν τὴν εἰρήνην τὴν σωστικήν, πρυτάνευσον εὐσπλάγχνως, καὶ τοῦ Υἱοῦ σου Κόρη, τῆς Βασιλείας καταξίωσον.



ΑΘΩΝΙΚΗ ΨΗΦΙΑΚΗ ΚΙΒΩΤΟΣ